ρόαθλε Χριστοῦ, καὶ εἰς Δύσιν γενόμενος, τὴν σκοτόμαιναν, τῶν εἰδώλων ἀπήλασας σημείοις, φοβεροῖς τε τεραστίοις, ἱερουργὲ παμμακάριστε.

Τοῦ κηρύγματος Ἅγιε, τῷ ἀρότρῳ Παγκράτιε, χερσωθεῖσαν ἔτεμες, μάκαρ αὔλακα, λαῶν ἀπείρων καὶ πίστεως, τὸν σπόρον τὸν ἔνθεον, καταβέβληκας σαφῶς, Γεωργὸς ὅν περ ηὔξησεν, ὁ οὐράνιος, ἐπομβρίᾳ τοῦ Πνεύματος τοῦ θείου· ὃν δυσώπει ἐκ κινδύνων, τοὺς σὲ τιμῶντας λυτρώσασθαι.

Δόξα, Ἦχος, πλ. β'.

Πέτρου τοῦ Κορυφαίου τῶν Ἀποστόλων, μαθητὴς γενόμενος, καὶ ποιμενάρχης Ταυρομενίας, παρ' αὐτοῦ χειροτονηθεὶς, θεοφόρε Παγκράτιε, ἐν σημείοις καὶ τέρασι, λαοὺς ἀπείρους ἐπεσπάσω, πρὸς τὴν πίστιν τοῦ Χριστοῦ, καὶ εἰδώλων δὲ τεμένη κατηδάφι-